# Α

ἄγγος

ἀγγεῖον, βλ. καταγγίζω

ἀγίγαρτος

ἀθάλασσ(ττ)ος, βλ. θάλασσα

ἀμφορεύς (επὶ ληνοῦ), βλ. κεράμια, ἡλιαστήριον, ληνός, ληνών

ἀνακόπτω, βλ. σταφυλοβολεῖον

ἀνασκάπτω, βλ. σταφυλοβολεῖον

ἀναφορά (γλεύκους): *Δεῖ τοίνυν τὴν ληνὸν πρὸς τὸ πλῆθος τῶν συγκομίζεσθαι μελλόντων καρπῶν οἰκοδομεῖν, ὥστε ὑπάρχειν τοῖς ἐργαζομένοις ἱκανὴν ἀναστροφήν· ἔχειν δὲ καὶ πρὸς τὴν ἀπόθεσιν τῶν σταφυλῶν ἱκανὴν εὐρυχωρίαν, ὥστε.. καὶ τοὺς ἐργαζομένους μὴ περιπνίγεσθαι ἀπὸ τῆς τοῦ γλεύκους ἀναφορᾶς. Δεῖ δὲ τὸν ληνεῶνα ὅλον κατηλεῖφθαι πάντοθεν λειοτάτοις κονιάμασι, καὶ οὐχ ἧττον τὰς ἀναφοράς* (Γεωπονικα VI, 1.2-3).

ἀνέκθλιπτος: *Ἐοίκατο ἄμφω πρὸς ἄλληλα ἐπιστολὴ καὶ σταφυλή. καὶ ὥσπερ ταύτης τὸ μέν τι αὐτόθεν καὶ ἀνέργαστον τὸ ἡδύ, τὸ δέ τι πλέον καὶ ποτιμώτερον ληνοβατηθεισῶν τῶν ῥαγῶν, οὕτω καὶ τοῦ λόγου διττὸν τὸ εἶδος, λέγω δὲ τοῦ σοφοῦ. Κἄν εἴ τις τὸν μὲν ἐν προφορᾷ λόγον τῇ ἀνεκθλίπτῳ σταφυλῇ ἀπεικάζ͵, τὸν δέ γε ἐν νοήσει κρείττονι τῇ ἱκανῶς διαιρεθείσῃ καὶ εἰς ῥεῦμα τὸν οἶνον προχεομένῃ εὐστοχώτερον ἄν εἴποι ἀπανταχῇ τὰς ἀναλογίας σκοπῶν* (Ψελλος, Ἐπιστολή αρ. 00, 238.1-24).

ἀντλῶ (ληνοῦ, ὑποληνίων)

ἀπαντλῶ: βλ. ἀντλῶ

ἀπαράχυτος (οἶνος)

ἀπόβρεγμα:

(1) *καὶ ὁ τροχίτης δέ, ὃν ἔνιοι συκίτην καλοῦσιν, ἐν Κύπρῳ σκευάζεται ὁμοίως τῷ φοινικίτῃ, διαφέρει δὲ ὅτι ἐπὶ τούτου ἔνιοι ἀντὶ τοῦ ὕδατος στεμφύλων ἀπόβρεγμα νεοθλίπτων τὸ ἴσον μέτρον βάλλουσιν· ἰσχάδες δὲ λαμβάνονται αἱ χελιδόνιοι καλούμεναι ἢ Φοινίκιαι — μέλαιναι δέ εἰσι — καὶ ἀποβρέχονται, ὡς προείρηται· μετὰ δὲ ἡμέρας δέκα ἐκλαμβάνεται τὸ ὑγρόν, καὶ ἐκ δευτέρου τε καὶ τρίτου ἐπιχεῖται τοῦ ἐκ τῶν στεμφύλων ἀποβρέγματος τὸ αὐτὸ μέτρον. ὁμοίως δὲ ἐκ διαστημάτων ἐκλαμβάνεται τὸ τέταρτον καὶ πέμπτον ἀπόβρεγμα ὀξίζον, ᾧ ἀντὶ τοῦ ὄξους χρῶνται* (Διοσκοριδης, V 32, 1-2).

(2) *παρὰ τὸ τῶν σταφυλῶν εἶδος, ἐξ ὧν ἐστι τὰ βρύτια. γλυκειῶν μὲν γὰρ αὐτῶν οὐσῶν ἥδιόν τε πολλῷ γίγνεται τὸ πόμα καὶ θᾶττον οὐρεῖται, στρυφνῶν δὲ καὶ ὀξειῶν ἀηδέστερόν τε μακρῷ καὶ ἧττον οὐρητικόν. ἰσχυρότερον δὲ τὸ ἀποβρέγμα τοῦτο γίγνεται καὶ μᾶλλον οἰνῶδες, ὅταν εἰς τὸ ἔαρ ἢ καὶ τὸ θέρος ἡ τρὺξ φυλαχθῇ· κατὰ δὲ*

*τὸν χειμῶνα χρωμένων, ὥσπερ ἧττον ἅπτεται κεφαλῆς, οὕτω καὶ ἧττον οὐρεῖται* (ΓΑΛΗΝΟΣ, *Περὶ τῶν ἐν ταῖς τροφαῖς δυνάμεων*, τόμ. 6, 580 και 581.1-7).

(3) *τὸ ἀπόβρεγμα τῶν στεμφύλων, ὃ τρύγα καλοῦσιν* (ΟΡΕΙΒΑΣΙΟΣ, *Πρὸς Εὐνάπιον*, II 16, 1.17 και ΟΡΕΙΒΑΣΙΟΣ, *Ἰατρικαὶ συναγωγαί*, XIV 49, 12.1).

(4) *τὸ ἀπόβρεγμα τῶν στεμφύλων, ὃ καλοῦσι τρύγα, κεφαλαλγές, καὶ ἡ ἐν τοῖς στεμφύλοις ἀποτιθεμένη σταφυλή* (ΟΡΕΙΒΑΣΙΟΣ, *Ἰατρικαὶ συναγωγαί*, III 21, 6.1 και ΟΡΕΙΒΑΣΙΟΣ, *Σύνοψις*, IV 20, 4).

(5) *τὸ ἀπόβρεγμα τῶν στεμφύλων, ὃ καλοῦσι τρύγα, κεφαλαλγές, καὶ ἡ ἐν τοῖς στεμφύλοις συντιθεμένη σταφυλή* (ΟΡΕΙΒΑΣΙΟΣ, *Πρὸς Εὐνάπιον*, I 51, 4.2).

(6) *τὸ δ' ἀπόβρεγμα τῶν στεμφύλων οὐρητικόν ἐστιν* (ΟΡΕΙΒΑΣΙΟΣ, *Ἰατρικαὶ συναγωγαί*, I 41, 9).

(7) *τὰ δ' ἀπὸ τῶν οὔων ἀποβρέγματα καὶ τῶν ἀπίων τῶν ξηρῶν καὶ τῶν μύρτων καὶ τῶν φοινίκων, πάντα αὐτῶν τὰ ἀποβρέγματα ἧσσον τὸ γλοιῶδες ποιεῖ· χρήσαιτο δ' ἄν τις καὶ τούτοις οἷς οἶνος οὐ προσακτέος. ἀποβρέχεται δὲ καὶ τὰ γίγαρτα ἐρειχθέντα· μᾶλλον δὲ τὸ ἀφέψημα αὐτῶν χρησιμώτερόν ἐστιν, ἐνεργότατον ὂν τῇ στύψει καὶ οὐδεμίαν ἄλλην δριμύτητα οὐδ' ὀξύτητα ἔχον* (ΟΡΕΙΒΑΣΙΟΣ, *Ἰατρικαὶ συναγωγαί*, V 31, 10-11).

ἀποζέω: βλ. ληνός, ληνών, καταλείφω

ἀποθλίβω: βλ. και θλίβω.

(1) *ἐπινοῆσαι γὰρ αὐτὸν* (Διόνυσον) *ἔτι παῖδα τὴν ἡλικίαν ὄντα τοῦ μὲν οἴνου τὴν φύσιν τε καὶ χρείαν, ἀποθλίψαντα βότρυς τῆς αὐτοφυοῦς ἀμπέλου* (ΔΙΟΝΥΣΙΟΣ ΣΚΥΤΟΒΡΑΧΙΩΝ, απ. 8.125-126, ΔΙΟΔΩΡΟΣ ΣΙΚΕΛΙΩΤΗΣ, III 70, 8).

(2) Διὸς μὲν γὰρ καὶ Δήμητρος αὐτὸν λέγεσθαι διὰ τὸ τὴν ἄμπελον ἔκ τε γῆς καὶ ὄμβρων λαμβάνουσαν τὴν αὔξησιν καρποφορεῖν τὸν ἐκ τοῦ βότρυος ἀποθλιβόμενον οἶνον (ΔΙΟΔΩΡΟΣ ΣΙΚΕΛΙΩΤΗΣ, III 62, 7.1-4).

(3) *καί φασι τὸν μὲν ἀρχαιότατον Ἰνδὸν* (=Διόνυσον) *γεγονέναι, καὶ τῆς χώρας αὐτομάτως διὰ τὴν εὐκρασίαν φερούσης πολλὴν ἄμπελον πρῶτον τοῦτον ἀποθλῖψαι βότρυας καὶ τὴν χρείαν τῆς περὶ τὸν οἶνον φύσεως ἐπινοῆσαι· τὸν δ' οὖν Διόνυσον ἐπελθόντα μετὰ στρατοπέδου πᾶσαν τὴν οἰκουμένην διδάξαι τήν τε φυτείαν τῆς ἀμπέλου καὶ τὴν ἐν ταῖς ληνοῖς ἀπόθλιψιν τῶν βοτρύων· ἀφ' οὗ Ληναῖον αὐτὸν ὀνομασθῆναι* (ΔΙΟΔΩΡΟΣ ΣΙΚΕΛΙΩΤΗΣ, III 63, 3.1-5, 4.1-5).

(4) *Ἔλεγε δ' οὖν ἰδεῖν κατὰ τοὺς ὕπνους τριῶν κλημάτων πεφυκυίας ἀμπέλου βότρυς ἐξ ἑκάστου ἀποκρέμασθαι μεγάλους ἤδη καὶ πρὸς τρύγητον ὡραίους, καὶ τούτους αὐτὸς ἀποθλίβειν εἰς φιάλην ὑπέχοντος τοῦ βασιλέως διηθήσας τε τὸ γλεῦκος δοῦναι τῷ βασιλεῖ πιεῖν. τοῦτον οὖν φῂς ἐκ τριῶν ἀποθλιβέντα βοτρύων χερσὶ ταῖς σαῖς προσέσθαι τὸν βασιλέα* (ΙΩΣΗΠΟΣ, II, 64 -67).

(5) *εἶτα πρότερος ὁ ἀρχιοινοχόος φησίν· ἔδοξα μεγάλην ἄμπελον ἐκπεφυκέναι τριῶν πυθμένων ἓν εὐερνέστατον στέλεχος, τεθηλυῖαν καὶ βοτρυηφοροῦσαν ὡς ἐν ἀκμῇ τῆς ὀπώρας, ὑποπερκαζούσης δὲ τῆς σταφυλῆς δρέψασθαι τῶν βοτρύων καὶ εἰς ἔκπωμα

*βασιλικὸν ἀποθλίβειν, ὅπερ ἱκανῶς ἔχον ἀκράτου προσενεγκεῖν τῷ βασιλεῖ* (ΦΙΛΩΝ ΙΟΥΔΑΙΟΣ, *Περὶ Ἰωσήφ*, 91) [πβ. το αντίστοιχο απόσπασμα οι Εβδομήκοντα ἔχουν ἐξέθλιψα και αλλού ο Φίλων το διατηρεί: ΓΕΝΕΣΙΣ 40, 11.3 και ΦΙΛΩΝ ΙΟΥΔΑΙΟΣ, *Περὶ Ὀνείρων*, 2, 159.6].

(6) *καὶ πρότροπος δ' ἦν τις οἶνος, ὁ πρὶν ἀποθλίβεσθαι ἐκρυείς* (ΠΟΛΥΔΕΥΚΗΣ, VI, 17. 9).

(7) *καὶ οἶνον ἐκ βοτρύων ἀποθλίψας* (ΑΛΚΙΦΡΩΝ, ΙΙ επιστολή 13, 1.5-6).

(8) *Διοπείθης δὲ ὁ Λοκρός, ὥς φησι Φανόδημος παραγενόμενος εἰς Θήβας καὶ ὑποζωννύμενος οἴνου κύστεις μεστὰς καὶ γάλακτος καὶ ταύτας ἀποθλίβων ἀνιμᾶν ἔλεγεν ἐκ τοῦ στόματος* (ΑΘΗΝΑΙΟΣ, Ι 35.25-29).

(9) *πῶς δὲ ἀποθλίψει τὸν βότρυν* (ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ, *Περὶ ψυχῆς καὶ ἀναστάσεως λόγος*, σελ. 112. 14).

(10) *Καὶ ἄμπελον τρυγῶσι, καὶ ἐλαίαν συλλέγουσι, καὶ οἶνον ἀποθλίβουσι* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Περὶ προνοίας*, PG 83, 616.8-9).

(11) *Ἐν γὰρ δὴ τούτοις πάντα τὰ νενομοθετημένα προσφέρειν ἐξέβαλεν, οὐ τὰ χερσαῖα μόνον ζῷα καὶ τὰ πτηνά, ἀλλὰ καὶ τὸν ἀποθλιβόμενον οἶνον καὶ τὸ μετὰ σεμιδάλεως καὶ ποπάνων προσφερόμενον ἔλαιον* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Ἑλληνικῶν θεραπευτικὴ παθημάτων,* VII, 22-23).

(12) *Οὗτος* (Νῶε) *δὲ φιλότεχνος ὢν περὶ τὴν γεωργίαν, καὶ πολλῇ τῇ ἐπιμελείᾳ χρησάμενος, ἴσως καὶ τοῦ καρποῦ ἐγεύσατο, καὶ τοὺς βότρυας ἀποθλίψας καὶ τὸν οἶνον ποιήσας μετέλαβε τῆς χρήσεως* (ΙΩΑΝΝΗΣ ΧΡΥΣΟΣΤΟΜΟΣ, Ρΰ 53, 264.33-36).

(13) *κάρμα· γλεῦκος. τὸ πρῶτον ἀποθλιβόμενον διὰ τῶν χειρῶν. καὶ κούρευμα* (ΗΣΥΧΙΟΣ, κ 835).

(14) *Ἐμβληθείσας δὲ τὰς σταφυλὰς εἰς τὰς ληνοὺς εὐθὺς τοῖς ποσὶν ἀποθλιβέτωσαν οἱ πρὸς τοῦτο τεταγμένοι, πᾶσάν τε ῥάγα ὁμαλῶς πατήσαντες* (ΓΕΩΠΟΝΙΚΑ VI 11, 3).

(15) *ἄλλως κυρτίς, κατασκεύασμά τι ἐκ λεπτῶν σχοινίων γεγονός, ᾧ καὶ οἱ μυρεψοὶ χρῶνται περὶ τὴν τῶν μύρων ἔκθλιψιν, ὑλιστήριον αὐτὸ καλοῦντες ἢ καὶ ὑλίστριον καὶ ὁ τριπτὴρ δὲ κατασκεύασμά τί ἐστιν πρὸς πιεσμὸν εὔθετον. ἄλλως· κυρτὶς κατασκεύασμά τι ἐν ᾧ τὰς σταφυλὰς ἀποθλίβουσι. λέγει οὖν σταφυλὴν δίδου πιεσθεῖσαν* (Σχ. σε Νικάνδρου Ἀλεξιφάρμακα, 493c). [Σημείωσε την διαφορά μύρων ἔκθλιψιν και σταφυλὰς ἀποθλίβουσι.]

(16) *Οἶνος: ὠνομάσθη ἀπὸ Οἰνέως· Οἰνεὺς δ' ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν οἶνον ἔκλησε* (ΣΟΥΔΑ, οι 135. 1).

(17) *σταφυλὴν λευκὴν ἀποθλῖψαι καὶ ποιῆσαι πλῆθος κοτυλῶν δύο* (ἹΠΠΙΑΤΡΙΚΑ, 2, 6. 10-11).

(18) *καὶ τὸν δεύτερον ἐκθλίβων βότρυν ἀλλ' οὖν ἐφ' ἡμῖν γε τὸ μὴ δεύτερον ἀποθλῖψαι βότρυν καὶ τὴν αὐτόθεν βλάβην ἐπισπάσασθαι* (ΦΩΤΙΟΣ, *Ἐπιστολαὶ καὶ Ἀμφιλόχια*, επιστλ. 277.19 και 30) [πβ. ἐκθλίβω και ἀποθλίβω.]

(19) *τῇ δὲ τῶν ποδῶν ἀμοιβαδὶς μεταβάσει καὶ πλήξει ἄρσει τε καὶ θέσει τὸ ὑγρὸν ἀποθλιβομένων* (ΔΑΦΝΟΠΑΤΗΣ, αρ. 37.29-30).

(20) βάδης. Ξύλον πιέζον καὶ θλίβον καὶ τὰς σταφυλάς. ξύλον μέγιστον ἐπιτιθέμενον ταῖς ἐλαίαις καὶ ταῖς σταφυλαῖς εἰς τὸ ἐκπιέζεσθαι τὸ ἔλαιον καὶ τὸν οἶνον. Βάδης τὸ ἀποθλίβον τὰς σταφυλάς ξύλον (ΣΥΝΟΨΙΣ ΒΑΣΙΛΙΚΩΝ, 45).

(21) *τό τε ἀποθλιβόμενον ἐκεῖνο γλεῦκος, ποταμηδὸν προχεόμενον* (ΔΑΦΝΟΠΑΤΗΣ, αρ. 12. 7).

(22) *ὡς γὰρ ληνὸς ἄλλη / δέχεται τοὺς βότρυας, καὶ σφίγγων ἐν τῷ λάρυγγι / ἀποθλίβει τὸν οἶνον ὥσπερ εἰς πίθον τὸν στόμαχον* (ΨΕΛΛΟΣ, Ποιήματα, αρ. 22. 12-11).

(23) *εἰ μὲν εὐγενὴς καὶ ὡραῖος ὁ βότρυς ἐντεθῇ ταῖς ληνοῖς, ἡδὺς καὶ ἀνθοσμίας τῶν βοτρύων ἀπορρυήσεται, τῇ παριππεύσει τοῦ χρόνου συνεπιδιδοὺς εἰς κάλλος καὶ εὔπνοιαν· εἰ δὲ ἐκ σεσηπότων ἢ ὀμφακιζόντων βοτρύων ὁ οἶνος ἀποθλιβῇ, ἐντροπίας εὐθὺς καὶ ἄποτος γίνεται, μεταβαλὼν εἰς δυσωδίαν τινὰ ἢ ὀξώδη ποιότητα, ἤ διά τινος ἑτέρας φθορᾶς εἰς σκωλήκων γένεσιν ἀλλοιούμενος* (ΦΙΛΑΓΑΘΟΣ, αρ.1, 8. 10-16) [πβ. συνθλίβω στο ίδιο απόσπασμα από τον ΓΡΗΓΟΡΙΟ ΝΥΣΣΗΣ, *Εἰς τὰς ἐπιγραφὰς τῶν ψαλμῶν*, 84.14-15.]

(24) *καὶ ὁ νέος οἶνος ἀποθλίβεται* (Σχ. Ησιόδου Ἔργα καὶ Ἡμέραι, προλεγόμενον σχόλιον στχ. 668bis. 14).

(25) *Οἶδας τὰς δᾷδας τὰς λιπαρὰς ὧν μᾶλλον ἢ τῶν βοτρύων ὁ Ἀθήνησιν οἶνος δοκεῖ ἀποθλίβεσθαι* (ΜΙΧΑΗΛ ΧΩΝΙΑΤΗΣ, αρ. 19, 25.19-20).

(26) εἶτα ἀποθλίβοντες καὶ σταφυλὰς καὶ τοῦ ἀποῤῥέοντος αὐτίκα ἐμφορούμενοι, εἰς πυρετοὺς ἐνέπιπτον καὶ φθόας (ΙΩΑΝΝΗΣ ΚΑΝΤΑΚΟΥΖΗΝΟΣ, τόμ. 2, 293.7-9).

ἀποθλίβω [μεταφορικώς]

(1) *Οὗτος γὰρ ὁ Ὀστάνης φησίν· «Ἀπόθλιψον τὴν σταφυλήν, ὑπογράφει, ἤγουν ἡ τῆς ῥεύσεως πλύσις ἐστὶ τοῦ μυστηρίου τούτου· τὸν ἰὸν δεῖ νοεῖν.»* (ΖΩΣΙΜΟΣ, τόμ. 2, 121. 9-11).

(2) *βότρυς καὶ σταφυλὴ ὁ Χριστός, ὅστις ἀποθλίψας ἑαυτὸν ἑκουσίᾳ πληγῇ καὶ θανάτῳ, ἀπέσταξε τὸ θεῖον γλεῦκος καὶ ἐφοίνιξεν ἑαυτὸν τῷ ἰδίῳ αἵματι* (ΑΘΑΝΑΣΙΟΣ, Ρὓ 28, 744.35-38).

(3) *Ἐπεὶ τάγματά εἰσι πολλὰ τῶν ὑπὸ Χριστοῦ βελτιουμένων οἳ καὶ κλήματα αὐτοῦ εἴρηνται ὄντος ἀμπέλου ἀληθινῆς, ποικίλαι εἶεν ληνοὶ τουτέστιν ἐπαγγελίαι, εἰς ἃς ἀποθλιβόμενος ὁ καρπὸς αὐτῶν οἶνον ποιεῖ εὐφραίνοντα καρδίαν ἀνθρώπου* (ΔΙΔΥΜΟΣ, απ. 83.1-4).

(4) *ποικίλαι εἶεν ληνοὶ τουτέστιν ἐπαγγελίαι, εἰς ἃς ἀποθλιβόμενος ὁ καρπὸς αὐτῶν οἶνον ποιεῖ εὐφραίνοντα καρδίαν ἀνθρώπου* (ΔΙΔΥΜΟΣ, απ. 830.2-4)

(5) *φυτεῦσαι καὶ τρυγῆσαι καὶ ἀποθλίψαι οἴνου καὶ ἐλαίας καρπόν;* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Ἑλληνικῶν θεραπευτικὴ παθημάτων*, VI, 54. 4-5)

(6) *ληνοὺς γὰρ νῦν ἔχομεν τὰ θεῖα θυσιαστήρια, ἐν αἷς τῆς ἀληθινῆς ἀμπέλου τὸν μυστικὸν ἀποθλίβομεν οἶνον καὶ τὰ ἐπιλήνια λέγομεν ᾄσματα* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Ἑρμηνεία εἰς Ἡσαΐαν*, 2.473-475).

(7) *«Καὶ ἔσονται δὴ μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου.» Σὺ γὰρ εἶ ἀληθινὴ ἄμπελος, ἀφ ἧς ὁ σωτήριος οἶνος γεωργούμενος ἐν ταῖς πνευματικαῖς ἀποθλίβεται ληνοῖς, ἀφ ὧν τὸ ποτήριον πληροῦται τὸ μεθύσκον ὡσεὶ κράτιστον* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Εἰς τὸ Ἆσμα Ἀσμάτων*, PG 81, 196.33-38).

(8) *Ληνὸν ἐπάτησε Κύριος παρθένῳ θυγατρὶ Ἰούδα. Ἐπὶ τούτοις ἐγὼ κλαίω. Πολλάκις ἡ θεία Γραφὴ τὴν μεγίστην τιμωρίαν ἀπεικάζει ληνῷ, διὰ τὸ πάντας ἐν τοῖς ληνοῖς ἀποθλίβεσθαι τοὺς βότρυας, καὶ μηδεμίαν ὡς τὰ πολλὰ διαφεύγειν ῥᾶγα* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Εἰς Ἱερεμίαν*, PG 81, 785.9-13).

(9) *Ὑπὲρ γὰρ τῶν ληνῶν» τὸν ψαλμὸν ὀνομάσας ταῦτα ἐπήγαγε· διδάσκων, ὡς ληνοὺς καλεῖ τὰς τοῦ Θεοῦ Ἐκκλησίας, ἐν αἷς ὁ πνευματικὸς οἶνος ἀποθλιβόμενος, καὶ οἱονεὶ ληνοβατούμενος* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Εἰς τὸ Ἆσμα Ἀσμάτων*, PG 81, 89.16-19).

(10) *Ληνὸν δὲ ὀνομάζει τὴν τῶν πολεμίων (κατά)λυσιν· καθάπερ γὰρ ἐν ταῖς ληνοῖς ἅπαντες οἱ βότρυες ἀποθλίβονται, οὕτω καὶ τὸν διάβολον (καὶ) πᾶσαν αὐτοῦ τὴν φάλαγγα παντελῶς ὁ δεσπότης κατέλυσεν* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Εἰς Ἡσαΐαν*, 19.591-594).

(11) {ΟΡΘ.} *Καὶ τῆς ἀμπέλου τὸν καρπὸν σταφυλὴν ὀνομάζοντες, ὅταν αὐτὸν ἀποθλίψωμεν, οὐ σταφυλὴν ἀλλ οἶνον προσαγορεύομεν* . {ΕΡΑΝ.} *Πάνυγε.* {ΟΡΘ.} *Καὶ αὐτὸν δὲ τὸν οἶνον, τροπίαν γενόμενον, οὐκέτι οἶνον ἀλλ' ὄξος ὀνομάζειν εἰώθαμεν* (ΘΕΟΔΩΡΗΤΟΣ ΚΥΡΟΥ, *Ἐρανιστής*, 67. 23-27).

(12) *ἀλλὰ τρυγᾶται μὲν καὶ ἡμῖν ὁ τῆς σοφίας καὶ ἀποθλίβεται βότρυς, οἶνον ἀποστάζων* (ΔΑΦΝΟΠΑΤΗΣ, αρ. 37.124-125)

(13) *ληνὸς δὲ ἡ ἐν τῷ βάθει τοὺς θείους λόγους δεχομένη ψυχὴ καὶ τοὺς τῶν νοημάτων βότρυας ἐν ἑαυτῇ ἀποθλίβουσα&. τοὺς ἐν αὐτῷ βότρυας ὀμφακίζοντας ἢ κυπρίζοντας διὰ τὴν τοῦ γράμματος τέως ἀσάφειαν ὑποπερκάζειν ποιοῦντες καὶ ἀποθλίβειν τὸν οἶνον τῶν πνευματικῶν νοημάτων* (ΦΙΛΑΓΑΘΟΣ, αρ. 23, 14.9-10, 15.5-7).

(14) *ἀποθλίβειν τὸν οἶνον τῶν πνευματικῶν νοημάτων, ἡδὺν καὶ πέπειρον τὸν τῆς ἀρετῆς βότρυν φέροντες, τῷ κρατῆρι τῆς σοφίας ἀποθλιβόμενον* (ΦΙΛΑΓΑΘΟΣ, αρ. 23, 15 και 17.5-6).

(15) *Ἐκεῖνος μὲν οὕτως ἀγρίοις θανάτου ποσίν, ὡς ἐν ὑποληνίῳ, κενώματι ταφῆς, ἀποθλίβεται, εἰς «οἶνον δὲ κατανύξεως» ἀπολήγει, πόμα καρδίαις* (ΓΡΗΓΟΡΙΟΣ ΑΝΤΙΟΧΟΣ, Λόγος ἐπιτάφιος, 195.2-4).

(16) *Τοῦ φυτουργοῦ τῆς κτίσεως σὺ πολύφορος ἄμπελος ὤφθης, Γλυκερία, ἀληθῶς περκάζουσα ἀθλήσεως βότρυας, ἀποθλιβέντας, μάρτυς, ληνοῖς ταῖς μαρτυρικαῖς καὶ κατανύξεως οἶνον προχέοντας τοῖς πίστει τῷ Χριστῷ μελωδοῦσιν* (AN.HYMN.GR., Canones Maii, 13. 14 ωδή 8).

(17) *Ὅλην ἀνεπλεκόμην τὴν κόρην ὡς ἄμπελον, καὶ τοὺς ὀμφακίζοντας τῶν βοτρύων ἐκθλίβων τῷ στόματι νέκταρ ἐξερρόφουν τοῖς χείλεσιν, οἷον ἀποθλίβουσιν ἔρωτες· καὶ τοῖς δακτύλοις ἀπέθλιβον καὶ τοῖς χείλεσιν ἔπινον, ἵνα τὸ πᾶν ὡς εἰς πίθον ψυχὴν τὴν ἐμὴν ἐκθλιβῇ μοι τοῦ νέκταρος· οὕτως ἀκόρεστος ἐγὼ τρυγητής& μὴ τὴν σταφυλὴν*

*ὀμφακίζουσαν, μή πως ἀντὶ νέκταρος ὄξος ἐκθλίψῃς ἐξ ὄμφακος* (ΜΑΚΡΕΜΒΟΛΙΤΗΣ, V 16.7-12, 17.5-6).

(18) *ὡς ῥᾶγες αἷμα τὸ ζωτικὸν ἀπεθλίβοντο τοῖς λογχηφόροις ληνοβατούμενοι* (ΝΙΚΗΤΑΣ ΧΩΝΙΑΤΗΣ, *Χρονικὴ Διήγησις*, 71.9-10).

(19) *ὄφελον μηδὲ τότε μηδ' ὁ δίκαιος εἶχε Νῶε δρέψασθαι βότρυν, μηδὲ ληνοβατῆσαι τὴν ἀρχὴν καὶ γλεῦκος ἔνθεν ἐξαποθλίψασθαι* (ΟΛΟΒΩΛΟΣ, *Λόγος κατηχητικός*, 17.14-16).

(20) *ὡς βότρυν ἀποθλίβων τὸ περικάρδιον κρατῆρα ἵστημι τουτονὶ πενθικὸν* (ΝΙΚΗΤΑΣ ΧΩΝΙΑΤΗΣ, Λόγος 3, 13.21- 22)

(21) *Ἀπόθλιψον τοίνυν ἡμῖν τοῖς ἐν λύπαις οἶνον* (ΜΙΧΑΗΛ ΧΩΝΙΑΤΗΣ, Ἐπιστολή 98, 159.22).

(22) *καὶ τὴν σταφυλὴν εὐτρεπῆ πρὸς ἐκρύσεις,/τρυγῶ τὸ πεφθὲν ἐκ πυρᾶς ἀποκρύφου,/καὶ τὸ τρυγηθὲν τοῖς ποσὶν ἀποθλίβω·/καὶ λαμβάνων τὸν οἶνον οὐκ εὐθὺς πίνω·/πρὸς γὰρ τὸ παχὺ τῆς ῥοῆς οὐκ ἀντέχω, /κἂν ὁ γλυκασμὸς προσβαλεῖν ἀναγκάσῃ* (ΦΙΛΗΣ [Dübner-Lehrs], 3.242-246).

(23) *πῶς ταῦτα, ληστὰ καὶ φθορεῦ πάντων χρόνε; / τί δ' οὐ σταφυλὰς ἐντελεῖς ἀποθλίβεις;* (ΦΙΛΗΣ [Martini], αρ. 84.26-27).

(24) *Ἀθηναῖος οὗτος ὁ Ἰκάριος, ᾧ πρώτῳ Διόνυσος ἐπιξενωθεὶς γεωργῷ ὄντι φιλοφρονήματι τοῦτον τετίμηκε τῆς ξενίας τὴν τῆς ἀμπέλου φιλοπονίαν διδάξας φυτεύσας τοιγαροῦν καὶ ἐπιμελησάμενος τοῦ δωρήματος, εἶτα κατὰ καιρὸν τρυγήσας καὶ ἀποθλίψας τὸν οἶνον καὶ πιεῖν τοῖς συνεργαζομένοις παρασχὼν ἀήθει τῷ πόματι εἶχε παρειμένους τοὺς πεπωκότας. νομίσαντες οὗτοι τὸν γεύσαντα τούτου τοῦ οἴνου περιειργάσθαι αὐτὸν κτείνουσιν ὡς φαρμακέα* (Σχ. σε Λουκιανό, 79, 22, 2).

ἀπόθλιψις:

(1) *τὸν δ' οὖν Διόνυσον ἐπελθόντα μετὰ στρατοπέδου πᾶσαν τὴν οἰκουμένην διδάξαι τήν τε φυτείαν τῆς ἀμπέλου καὶ τὴν ἐν ταῖς ληνοῖς ἀπόθλιψιν τῶν βοτρύων· ἀφ' οὗ Ληναῖον αὐτὸν ὀνομασθῆναι* (ΔΙΟΔΩΡΟΣ ΣΙΚΕΛΙΩΤΗΣ III 63, 4.1-5).

(2) *Ἔθος γε μὴν τοῖς πολλοῖς ἐπὶ φυλακῇ τοῦ διαμένειν ἀκλινῆ τὸν καρπὸν ἐπικιρνάναι θαλαττίῳ ὕδατι· παρὰ τοῦτο ὁ Διόνυσος «δύσεθ ἁλὸς κατὰ κῦμα. Θέτις δ ὑπεδέξατο κόλπῳ», ἡ τελευταία μετὰ τὴν ἀπόθλιψιν τοῦ καρποῦ θέσις· αὕτη γὰρ ἐσχάτη δέχεται τὸν οἶνον. «Δειδιότα», τὸν ἐν ἀρχῇ τοῦ νεοθλιβοῦς γλεύκους παλμὸν καὶ τὴν μεθαρμόζουσαν ὁρμήν· δέος εἶπε γὰρ τρόμον. Οὕτως Ὅμηρος οὐ φιλοσοφεῖν μόνον ἀλληγορικῶς ἀλλὰ καὶ γεωργεῖν [θεωρεῖν] ἐπίσταται* (ΗΡΑΚΛΕΙΤΟΣ, 35, 6-9).

ἀποπιέζω, ἀποπίεσμα, βλ. περίπτισμα

ἀπορρύω, βλ. και ἀποθλίβω

ἀπόσταγμα:

(1) *πρόουρον· τὸ ἀπόσταγμα τῆς σταφυλῆς, πρὶν πατηθῇ* (Ἡσύχιος, π 3615. 1).

(2) *γλεῦκος τὸ ἀπόσταγμα τῆς σταφυλῆς πρὶν πατηθῇ· λέγεται δὲ καὶ πρότραπος ἢ πρότροπος* (ΛΕΞΙΚΑ SEGUERIANA 2, γ, 185.22-23).

(3) *ἀπότροπος οἶνος τραπεῖν γάρ ἐστι τὸ πατῆσαι, ὅθεν καὶ τὸ πρὸ τοῦ πατηθῆναι γινόμενον ἀπόσταγμα τῆς σταφυλῆς ἀπότροπος οἶνος λέγεται. οὕτω Επαφρόδιτος ἐν Υπομνήματι Ασπίδος Ησιόδου* (ΕΤΥΜΟΛΟΓΙΚΟΝ GUDIANUM, α, 177.21-23).

(4) *ἀτραπός, ὁ οἶνος· τραπεῖν γάρ ἐστι τὸ πατῆσαι· ὅθεν καὶ τὸ πρὸ τοῦ πατηθῆναι γινόμενον ἀπόσταγμα τῆς σταφυλῆς ἀτραπὸς οἶνος καὶ ἀπότροπος λέγεται* (ΕΤΥΜΟΛΟΓΙΚΟΝ Μέγα, 162.25-28).

ἀποστάζω:

(1) *βότρυς καὶ σταφυλὴ ὁ Χριστὸς, ὅστις ἀποθλίψας ἑαυτὸν ἑκουσίᾳ πληγῇ καὶ θανάτῳ, ἀπέσταξε τὸ θεῖον γλεῦκος καὶ ἐφοίνιξεν ἑαυτὸν τῷ ἰδίῳ αἵματι* (ΑΘΑΝΑΣΙΟΣ, Ρὒ 28, 744. 35-38).

(2) *πρὶν θλιβῆναι τοὺς βότρυας τὸ ἐξ αὐτῶν αὐτομάτως ἀποστάζον γλεῦκος, ὃ πρόχυμά τινες καλοῦσι* (ΓΕΩΠΟΝΙΚΑ VI 16, 1).

(3) *ἀλλὰ τρυγᾶται μὲν καὶ ἡμῖν ὁ τῆς σοφίας καὶ ἀποθλίβεται βότρυς, οἶνον ἀποστάζων* (ΔΑΦΝΟΠΑΤΗΣ, αρ. 37.124-125).

ἀπότροπος: *ἀπότροπος οἶνος τραπεῖν γάρ ἐστι τὸ πατῆσαι, ὅθεν καὶ τὸ πρὸ τοῦ πατηθῆναι γινόμενον ἀπόσταγμα τῆς σταφυλῆς ἀπότροπος οἶνος λέγεται. οὕτω Ἐπαφρόδιτος ἐν Ὑπομνήματι Ἀσπίδος Ἡσιόδου* (ΕΤΥΜΟΛΟΓΙΚΟΝ GUDIANUM, γράμμα α, σελ. 177.21-23). — βλ. και ἀτραπὸς, πρότροπος ή πρότραπος

ἄρριχος

ἀσκός

ἀτραπὸς βλ. πρότραπος, πρότροπος

ἄτρυγος, -ον βλ. τρύξ

αὐλή (ληνοῦ) βλ. περιαύλιον